προῖκα εἰσενεγκαμένη μὴ πρίασθαι θεράπαιναν, ἀλλὰ μισθοῦσθαι εἰς τὰς ἐξόδους ἐκ τῆς γυναικείας παιδίον τὸ συνακολουθῆσον· καὶ τὰ ὑποδήματα παλιμπήξει κεκαττυμένα φορεῖν καὶ λέγειν, ὅτι κέρατος οὐδὲν διαφέρει· καὶ ἀναστὰς τὴν οἰκίαν καλλῦναι καὶ τὰς κλίνας ἐκκορίσαι· καὶ καθεζόμενος παραστρέψαι τὸν τρίβωνα, ὃν αὐτὸς φορεῖ.

ΚΕ (ΚΒ)

## ΑΙΣΧΡΟΚΕΡΔΕΙΑΣ

Ἡ δὲ αἰσχροκέρδειά ἐστι περιουσία κέρδους αἰσχροῦ, ἔστι δὲ τοιοῦτος ὁ αἰσχροκερδής, οἷος ἑστιῶν ἄρτους ἱκανοὺς μὴ παραθεῖναι. καὶ δανείσασθαι παρὰ ξένου παρ' αὐτῷ καταλύοντος. καὶ διανέμων κερίδας φῆσαι δίκαιον εἶναι διμοίρῳ τῷ διανέμοντι δίδοσθαι καὶ εὐθὺς αὐτῷ νεῖμαι. καὶ οἰνοπωλῶν κεκραμένον τὸν οἶνον τῷ φίλῳ ἀποδόσθαι. καὶ ἐπὶ θέαν τηνικαῦτα πορεύεσθαι ἄγων τοὺς υἱούς, ἡνίκα προῖκ' ἀφιᾶσιν ἐπιθέατρον. καὶ ἀποδημῶν δημοσίᾳ τὸ μὲν ἐκ τῆς πόλεως ἐφόδιον οἴκοι καταλιπεῖν, παρὰ δὲ τῶν συμπρεσβευόντων δανείσασθαι· καὶ τῷ ἀκολούθῳ ἐπιθεῖναι μεῖζον φορτίον ἢ δύναται φέρειν καὶ ἐλάχιστα ἐπιτήδεια τῶν ἄλλων παρέχειν· καὶ ξενίων δὲ μέρος τὸ αὑτοῦ ἀπαιτήσας ἀποδόσθαι· καὶ ἀλειφόμενος ἐν τῷ βαλανείῳ εἴπας· ‘σαπρόν γε τὸ ἔλαιον, παιδάριον’ τῷ ἀλλοτρίῳ ἀλείφεσθαι. καὶ τῶν εὑρισκομένων χαλκῶν ἐν ταῖς ὁδοῖς ὑπὸ τῶν οἰκετῶν δεινὸς ἀπαιτῆσαι τὸ μέρος, κοινὸν εἶναι φήσας τὸν Ἑρμῆν. καὶ ἱμάτιον ἐκδοῦναι πλῦναι καὶ χρησάμενος παρὰ γνωρίμου ἐφελκύσαι πλείους ἡμέρας, ἕως